Ros Dok Rostocker Dokumentenserver
Dieses Werk wurde Ihnen durch die Universitätsbibliothek Rostock zum Download bereitgestellt.
Für Fragen und Hinweise wenden Sie sich bitte an: digibib.ub@uni-rostock.de

Johannes Christian Hartmann

# Epos Eis Tn Para Rosbakk Km Maxn Gegenmenn Pepoimenon

en t Ina: polei Grammasi Phikkelschrrianois, a.ps.xg.

**http://purl.uni-rostock.de/rosdok/ppn889805318**

Druck Freier Zugang PUBLIC DOMAIN

Cr
62.

Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de
/rosdok/ppn889805318/phys_0001
DFG

Cr-62.

~~C.II.f. 3186.~~

Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de
/rosdok/ppn889805318/phys_0002
DFG

C.II.f.3186.

Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de
/rosdok/ppn889805318/phys_0003
DFG

Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de/rosdok/ppn889805318/phys_0004
DFG

praesentat. d. 12 Apr. 1764.

ΕΠΟΣ

# ΕΙΣ ΤΗΝ

ΠΑΡΑ

# ΡΟΣΒΑΚΚΩ ΚΩΜΗ

## ΜΑΧΗΝ ΓΕΓΕΝΗΜΕΝΗΝ

ΠΕΠΟΙΗΜΕΝΟΝ

ΥΠΟ

ΙΩΑΝΝΟΥ ΧΡΙΣΤΙΑΝΟΥ ΑΡΤΜΑΝΝΟΥ



ἐν τῇ ΙΗΝΑ πόλει

ΓΡΑΜΜΑΣΙ ΦΙΚΚΕΛΣΧΗΡΡΙΑΝΟΙΣ

C. II. f. 3186. ἐν τῷ ἔτει α. ψ. ξγ.

Notandum, errata ista gravia, quae offendes,
nobis iam ab urbe Iena absentibus irrepsis-
se. Quare omnia, qualiacunque sint, beni-
vole corrigas, vehementer rogamus.

Ex Bibliotheca Academiae Rostochiens.

Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de
/rosdok/ppn889805318/phys_0006
DFG

ΑΝΔΡΙ

ΛΑΜΠΡΟΤΑΤΩ ΚΑΙ ΕΞΟΧΩΤΑΤΩ

ΚΥΡΙΩ

# ΙΩΑΝΝΗ ΔΑΒΙΔ

# ΜΙΧΑΗΛΙΣ

ΤΩΝ ΕΝΤΟΥ ΚΥΔΙΣΤΟΥ ΒΡΕΤΑΝΩΝ

ΒΑΣΙΛΕΩΣ ΑΥΛΗ ΒΟΥΛΩΝ ΣΥΜΜΕ-

ΤΕΧΟΝΤΙ

ΤΩΝ ΤΗΣ ΑΝΑΤΟΛΗΣ ΓΛΩΣΣΩΝ ΔΙΔΑΣ-

ΚΑΛΩ ΔΗΜΟΣΙΟ

ΕΝΤΗ ΓΟΙΤΤΙΓΓΙΑ, ΠΟΛΕΙ

ΤΟΥ ΤΕ ΕΚΕΙ ΦΥΤΕΥΤΗΡΙΟΥ ΕΠΙΣΚΟΠΩ

ΑΚΡΙΒΕΣΤΑΤΩ.



Universitäts Bibliothek Rostock http://purl.uni-rostock.de/rosdok/ppn889805318/phys_0007 DFG

ΚΑΙ

ΑΝΔΡΙ ΕΥΔΟΚΙΜΩΤΑΤΩ

ΚΑΙ

ΕΠΙΣΤΗΜΟΝΕΣΤΑΤΩ

ΚΥΡΙΩ

# ΧΡΙΣΤ. ΑΔΟΛΦΩ ΚΛΩΖΙΩ

ΧΡΗΣΤΩΝ ΜΑΘΗΜΑΤΩΝ ΔΙΔΑΣΚΑΛΩ ΔΗΜΟΣΙΩ

ΕΝ ΤΗ ΓΟΙΤΤΙΓΓΙΑ ΠΟΛΕΙ

ΠΟΙΗΤΗ ΣΤΕΦΑΝΩ ΔΑΦΝΙΝΩ ΕΣΤΕΦΑΝΩΘΕΝΤΙ

ΠΡΟΣΤΑΤΑΙΣ ΒΕΛΤΙΣΤΟΙΣ ΜΕΓΙΣΤΟΙΣ

ΠΑΣΑΝ ΕΥΤΥΧΙΑΝ ΕΠΕΥΧΟΜΑΙ

ΙΩΑΝΝΗΣ ΧΡΙΣΤΙΑΝΟΣ ἉΡΤΜΑΝΝΟΣ

Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de
/rosdok/ppn889805318/phys_0008
DFG

Μὴ θαυμάζετε, Ἄνδρες Εὐδοκιμώτατοι, ὅτι ἐγὼ νῦν ποιῶ τι, ὃ τάχα τῇ ΥΜΩΝ ἀξίᾳ καὶ τιμῇ πάντως ἀπρεπὲς δοκεῖ εἶναι. Τοῖς ΥΜΩΝ οὖν ὀνόμασιν ἔπος τι, οὐδεμιᾶς δὴ ἀναγνώσεος ἄξιον, ὅτι πράγματα εἰρήνην φιλοῦσι βδελυκτά τε καὶ μισητὰ ἐν ἑαυτῷ περιέχει, ὡς ἀνάθημα τι ἀνατίθεμαι. Ἀλλὰ ταῦτα μετὰ προνοίας τινὸς ἐποίησα· πρῶτον μὲν, ἵνα τὸ ποιημάτιόν μου φαύλῳ ἀξίας τι λάβῃ ἐκ μεγάλης ΥΜΩΝ καὶ ἐν πάσῃ οἰκουμένῃ διατρυλλουμένης τε καὶ περιβοητῆς τιμῆς, ὅτι ἄνευ ταύτης ἐκεῖνο ὑπὸ πάντων ἄλλως τε Ἑλληνικῶν γραμματων ἂν ἐπιστημόνων ἐν οὐδενὶ λόγῳ τίθεσαι κομίζω· εἶτα δὲ, ἵνα τοῦτο σημεῖον ἀτρεκὲς, τοῦ μὲν ἐμὲ τὴν Ἀνατολικῶν γλωσσῶν πάντων ἐπιστήμην καὶ πολλὰς ἄλλας ἀρετὰς Ἀνδρὸς Σεβασμιωτάτου τοῦ ΜΙΧΑΗΛΙΣ πλεῖστου ποιεῖν γένηται, καὶ μέγα τι καὶ ἀσφαλὲς τεκμήριον τοῦ δὲ σφόδρα με φιλεῖν ΚΛΩΖΙΟΝ τὸν πάνυ. καὶ δὴ καὶ τούτων ἕνεκα ΥΜΩΝ μάλιστα ὀνόμασι λαμπροῖς ἀνακεῖται, ἵνα, ἐάν τι ξίφος κακῶν τε καὶ ὀνειδιζόντων τούτῳ ἐντυχὸν αὐτίκα κράξοι, Δότε μοι λεκάνην, Ἀπόλοιτο κακὸς κακῶς ὅστισοῦν ταῦτα ποιῶν, ΥΜΩΝ ἀξίαν καὶ τιμὴν τοῦτο ὡς ἔπαλξιν, ἢ πύργον, ἢ τεῖχος στιβαρὸν ἔχῃ ἐπὶ

τας

τὰς τῶν ἐχθρῶν ἐπιβολάς. Αναβάλλετε οὖν τὰ ὑπ' ἐχθρῶν εἰς τοῦτο ἐπιφερόμενα καὶ φθονερῷ φαρμάκῳ βεβαμμένα βέλη εἰς τὰς κέφαλὰς αὐτῶν· πολεμίζετε περὶ τούτου, ὥσπερ περὶ κειμηλίου τινὸς πολιτελοῦς, οὐκ ἐμοῦ ἕνεκα, ἀλλὰ τῶν ΥΜΩΝ ἐξοχω τάτων ὀνομάτων ἕνεκα, ἵνα μὴ, εἴ πω τοῦτο προπηλακίζοιτο ὑπὸ τινὸς κακοῦ, ἐκ τοιούτων ὀνειδισματων ΥΜΩΝ ΕΞΟΧΗ σπίλους τινὰς λάβῃ. Το τέλος τοῦτο μὴ ἀποδοκιμάζετε, φιλεῖτε μᾶλλον καὶ τῇ ἐμῇ πενίᾳ, ὡς ΥΜΩΝ ΕΥΝΟΙΑ οἴητε ἔϛαι, ἀρήγετε, τῶν τε ἐμῶν χαλεπῶν χρημάτων ἐπιμελεῖσθε καὶ προΐϛασθε. Ἐῤῥωσθε. Εγραψα ἐν τῷ οἴκῳ, ᾧ ἐϛιν ὄνομα Κολληγίῳ, ἔνῃ καὶ νέᾳ Ποσειδεῶνος μηνὸς ἐν τῷ μετὰ τὴν Σωτῆρος ἡμῶν γένεσιν ἔτει α. ψ. ξγ.

Αρχετε

Ἀρχετε Μοῦσαι φίλαι Φριδρίκου μῆνιν ἀείδειν
κυδαλίμοιο ἄνακτος, καρτερὸν ἦτορ ἐχόντων
τῶν λαῶν Βρουσσάων ἡγὲμονῆος ἀρίστου,
ἣ δειλαίοις μυρία Γαλλοῖς ἄλγε' ἔθηκεν·
πολλὰς δὲ θνητῶν ψυφὰς εἰς δῶμ' ἀΐδαο
πεμψε· σιδήρεον ἦτορ ἀείτε μέγα σθένος Αυτοῦ,
Φριδρίκοιο σοφοῦ τῶν νῦν βασιλῆος ἁπάντων.

οἷο πατὴρ Ζεὺς, ὅν τέκε κάλλος ὑπείροχον Ηρης.
οἷο κασίγνητος θρασὺς Ηρακλέις, μέγα θᾶυμα
τῶν θνητῶν μερόπων τότε, καὶ Λητοῦς φίλος υἱὸς,
ὅς λάχεν ἠλιβάτου κορυφῆς Ελικώνιδα πέτρην.
ἠδὲ κασιγνήτη θεία γλαυκῶπις Αθήνη
Κέκροπος ἔυανδρον γῆν ἀκρόπολιντε λάχουσα.
ὅν ποτε ϖοῦρος Αρης φωτῶν δὴ φῦλα δαμάζων
ἀυτότατος στρατιῶν ἡγεῖσθαι δεινὸν ἔθηκεν,
ὑψηλοὺς πύργους μὲν ἐϋκτιμένας τε πόληας
κυκλώσασθαι βίῃ στεφανιδὸν, ὀρύγμασι βάλλειν
ἐν κύκλῳ πέρι. καὶ φερέμεν πρὸς τέιχεσι κρόσσας,
στῆλας τε προβλῆτας ἑλεῖν χερσὶ στιβαραῖσιν,
ἐκ δὲ βαλόντα χεροῖν σφοδερῶ γε κατὰ χθόνα δούπῳ.
σφῷ δ' ὑπὸ δουρὶ πόλεις πέρθειν καὶ χωρία πάντα
δυσμενέων δηίων· πρῆσαι δὲ πυρὸς τὰ μέλαθρα

κεινων. τῇ σφετερῇ περ ἀρηγέμεναι πολὺ χώρᾳ
πολλὸν ἐπὶ χρόνον αὐτῆς λιμῷ φῦλα δαμέντα
ἀργαλέῳ ῥύσασθαι, σώματα νεκρὰ δὲ θάπτειν
ἐν πολέμῳ πιπτόντων κηρὸς ἄταισι βαρείαις.
Φριδρίκῳ δὲ κίοντι ταγῶν ϛρατιᾶς πολὺ πλῆθος
ἕσπετο· τοῖς ἐνὶ Ἐῤῥικος κάσις ἦιε κείνου
ὃν ποθ᾽ ὑποδμηθεῖσα Φερασπίδι γείνατο μήτηρ.
Καὶ Σειδλίζιος εἰν ὁμίλῳ ταγὸς ἔξοχος ἄλλων
ὀθράσος, ἄλκιμον ἦτορ ἔχων, μεγαλήτορα θυμὸν
ἐννῆμαρ μὲν ἀν᾽ οὔρεα, κρημνώδεις τε φάραγγας
ᾤχετο Βρουσσάων ϛρατὸς εὖ μάλα τεύχεσι βρίθων
τῇ δεκάτῃ δ᾽ ἀγορὴν δε καλέσσατο λαὸν ὁ σώφρων
Φριδρίκος βασιλεὺς ἐπὶ βουνὸν γ᾽ ἐλθέμεν ὦκα,
σὺν δὲ παρεῖναι ὁμοῦ πινυτοὺς κέλεται καὶ ἀνώγει
ἄρχους· καὶ παρὰ βουνῷ κείνους ϛῆμεν ἅπαντας

δόυρατα νῦν λάβετε ξίφη ἕλκετε χείρεσι μακρὰ
ἐκ κολεῶν μάρνασθε, μάχεσθε νυ καρτερόθυμοι.
ὦ κρατέων πάντων θεὸς ὀυρανίων τε δυνάστα
ἠδ᾽ ἔτι καὶ νῦν μοι τοδ᾽ ἐπικρήνον ἐέλδωρ,
ἤδη νῦν Βρουσσοῖσιν ἀεικέα λοιγὸν ἄμυνον.
ὣς ἄρα φωνήσας ἀποβήσατο βήματος Αὐτὸς
ἐυχόμενος Βρουσσοῖσι θεσῦ πάρα παντα γενέσθαι
ὅσσα καλὰ θνητοῖς μερόπεσσι νομίζεται δῶρα.
βῆδ᾽ ἄρ᾽ ἐπὶ στρατὸν ἀνδρῶν δυσμενέων ταχὺ λαὸς
Φριδρίκου θυμὸν θρασὺν ἐν στήθεσσιν ἔχοντος
καρπαλίμος δὲ φάραγγας ἐν ὀφθαλμοῖ σιν ὀπώπει
ἔνθα καὶ ὄυρεα καὶ σκοπιαὶ περιμηκέες, ἄλση.
(οἷς ἐνὶ μίμνοντες κλίσιας τε καὶ ἤθεα Γαλλοὶ
εἶχον ἄθυμοι καρδίᾳ ἐιν κακὰ μηχανάοντες)
αὐτῆμαρ Φριδρίκος ἄναξ σφοὺς ἄντα κελέυει

στῆναι

οἱ δ᾽ ἐπεὶ οὖν ἤγερθεν ὁμηγερέες δ᾽ ἐγένοντο,

τοῖσι δ᾽ ἀνιςάμενος μετέφη ἀπὸ βήματος Αυτὸς·

ὦ φίλοι ἄνδρες! ὁ ῥέξων ἔργα καλῶς, ἀπὸ θέιου

ἄρχεται, ὡς θέμις, εις δὲ το θεῖον, ὅπου λάβε, λήγει,

ἀρχην. νῦν δὲ καὶ ἡμεῖς οἶδε συνήλθομεν ἔνθα

ῥέξαντες καλὰ ὧδε ποιῶμεν, δήϊα ἔργα.

τηλόθεν ἐκ γάιας δὴ πατρίδος ἥκομεν αὐτοὶ

ταῖς μακραῖσι πορείαις ἄλγεα πολλὰ μογοῦντες

νηλεοθύμοις ἡμετέροις δηΐοισι μάχεσθαι·

προφθάμενοι πέρσειν ἐχθρῶν περικάλλεας οἴκους,

τῶν πρότερον κεκαλυμμένα δὴν κατα θυμὸν ἐχόντων

εις ἡμᾶς κακὰ, (δεῦρο γὰρ ἥκειν ὧρσαν ἐκεῖνοι,)

ὑμῖν μὲν δὴ χεῖρες ὀλύμπια δώματ᾽ ἔχουσαι

ὑψιςοῖο θεοῖο νυ δοῖεν ἄν ἤθεα πάντα

ἐκπέρσαι, καὶ εσθαι, πυρπολέεσθαι πόληας.

δου-

ϛῆναι τῶν κλισίων Γαλλῶν, ἅμα τοῖς μαχαόντων.
καὶ μάλα περθυμῷ κεχολωμένος ἔπλετο δῖος
Φριδρικος, βουλῇ δὲ θεοῖο γεφύρας ἔτευχε
ἔνθα καὶ ἔνθ' ἐπέρασσεν ἔχοντα πολύῤῥυτα ῥεῖθρα
τὴν Σᾶλαν ποταμὸν, πολεμίζειν ἠδὲ μάχεσθαι
σπεῦδε δὴ ἐξαπίνης δηΐοισι περ· ὡς γὰρ ἄμεινον.
ἦμος δ' ἠέλιος κατέδυ, καὶ ἐπὶ κνέφας ἦλθε,
δὴ τότ' ἄναξ κύδιϛος ἐς ὑσμίνην τε μάχην τε
Βρουσσάων ϛρατὸν εἰς πεδίον προάγει, καὶ ἀνώγει
ἠδὲ νυ κηρύκεσσι κελέυει γ' ὠκυπεταισι
κηρύσσειν πολεμόνδε σιδήρεον ἦτορ ἔχοντας
Βρουσσοὺς, ὄφρα γ' ὁμηγερέες δ' ἔλθοιεν ἅπαντες.
οἱ μὲν ἐκήρυσσον, τοιδ' ἠγείροντο μάλ' ὦκα.
οἱδ' ἀμφὶ Φριδρίκον ἄνακτα περίκλυτοι ἀρχοὶ
θῦνον κρίνοντες κατὰ Βρουσσάων ϛρατὸν εὐρύν.

στῆ δ' ἄρ ὑπὲρ κέφαλῆς Βασιλεῖ γλαυκῶπις Αθήνη
αἰγίδ' ἔχουσ' ἐρίτιμον, ἐκείνῳ δῶκε σόφισμα.
ἔνθα δ' ἄναξ ὀτρύει καὶ σθένος ὦρσεν Αθήνη
ἄσπετον ἐν κραδίαισιν ἑκαςοῦ, κάρτα μάχεσθαι
Φριδρίκος κέλεται πολεμίζειν ἔγχεσι γυμνοῖς.
ἤδη ἄναξ προμάχης πρὸς λαοὺς μῦθον ἔειπεν·
ὦ φίλοι ἄνδρες, ἐμεῦ ποθέοντες κλῦτε νυμῦθον·
Αρῆϊ κρατερῷ ἐνὶ δήριδι πάντες ἔπεσθε,
φάσγανα τε σπάσασθε καὶ ἕλκετε ῥίμφα μαχαίρας
ἐκ κολεῶν καὶ διώκετε δηΐους ὦκα φυγόντας.
οἱ μὲν γὰρ τολμῶσι, παρ' ἀλλήλοισι μένοντες
εἰς τ' αὐτο σχεδίην ἰέναι δῆριν προμάχους τε
παῦροι ἀποθνήσκουσι, σάουσι δὲ νόςον ἐς ἠδὺν
ὣς φάτο Φριδρίκος, δεινὼ δὲ οἱ ὄσσε φάανθεν
ἠδ' ἔπε ἐκ ςόματος ῥεῖ μείλιχα· οἱ δὲ νυ λαοὶ

παν-

πάντες ἀποβλέψαντες ἐς αὐτὸν πτῶκες ἔγεντο.
ἡγεμόνες δὲ διακριδὸν διεκόσμεον αὐτοὺς
ὄμματα καὶ κεφαλὴν ἴκελοι Φλεγέθοντι κεράνῳ
ἔσταν δ' ἐν πεδίῳ Ροσβακκίῳ ἀνθεμόεντι
μύριοι, ὅσσα τε φύλλα γίνονται ἐν εἴαρος ὥρᾳ,
ἠΰτε κωνώ πων πυκινάων ἔθνεα πολλά·
τόσσοι ἐπὶ Βρουσσοῖσι σιδήρεον ἦτορ ἔχουσιν
ἐν πεδίῳ ἵσταντο διολλῦσαι μεμαῶτες·
Γαλλοὶ. νῦν δὲ γὰρ ἐς πόλεμον κίνυντο φάλαγγες
καὶ τοὺς τοὶ γήθησεν ὁρῶν Φριδρίκος ἀγήνωρ.
ἱππῆας μὲν πρῶτα σὺν ἵπποισιν καὶ ἁμάξαις
δεξίῳ ἐν κέρατι στῆσεν, πολέας τ' ἐνὶ σκαιῷ,
ἔγχεσι πεφρικότας, ξίφη ἐν χείρεσσιν ἔχοντας,
ἔμμεναι ἕρκος αὐτῆς. πεζὸς δ' ἔπλετο μέσσος.
ἀμφὶ δὲ βαλλέμεν ἐν κύκλῳ τούτους μεμαῶτες

μηχανάωντο περιςαδὸν ἀγχινόοι τάχα Γαλλοὶ,
ἄντυγος ἡμιτόμου κεραῆς ἅτε κύκλα σελήνης
ἀλλὰ γ᾽ ὅσα φρεσὶν ἔνδοθεν εἶχον ἀτάσθαλα κεῖνοι,
πάντ᾽ ἀνὰ δ᾽ εἰς κεφαλὰς ςρέφει, ὅππόθ᾽ ἵκοντο γὰρ
αὐτά.
αὐτοὶ μάχονται νυ καδδύναμιν πόδα πὰρ ποδὶ θέντες
ἀλλάγε Βρουσσοὶ καρτεροὶ ἀμφοτεροῖσι δὲ ποσσὶ
στηριχθέντες ἐπὶ χθονὸς ὀξέσιν ἐςιχοώντο
δουλιχίοισι τε δούρασι μακραῖσιν τε μαχαίραις
εἰς δεινὴν δῆριν τε βίῃ προμάχους τε φέροντο
πῆξαν δ᾽ οἱ κεχολωμένοι ἐν ςήθεσσιν ἐκείνων
ἐκ δὲ χύδη μέλαν αἷμα θοῶς, καὶ κε νῦν ἰάχησαν.
ὦ πόποι, ὦ πέπονες, πολέμοιο ἀπίσχετε χεῖρας
σώζετε, σώζετε, τεύχεα δ᾽ ἐγγυαλίξομεν ὑμῖν.
πλεῖςοι δὲ πληγέντες ὑπέκβαλον ἔγχεα πάντα,

ξηροὶ

ξηροὶ δ᾽ ὑπαὶ δείους πτώσσειν, αἶψακε φεύγειν,
ἔνθα καὶ ἔνθα τε Γαλλοὶ περ ὡρμάσθησαν ὀπίσσω.
ἐσσυμένως ἄρα Βρουσσοὶ διώκουσιν δε φυγόντας,
ἠδὲ δαΐξουσιν δηΐων τὰ μετάφρενα Γαλλῶν,
οὐκ ὀλίγοι δ᾽ ἐπὶ γαῖαν ἔκειντο λαβόντες ὀδὰξ μιν
ἐν κονίαισιν ἑλλίσσοντο κράζοντες ἀλέξειν,
ᾤμωξαν πικρῶς· δηΐοισι δὲ χάρμα γίνονται.
οἵδε γὰρ ἄλγε᾽ ἔχοντες τ᾽ οὖδος ποσσὶ πατοῦσιν.
ὣς ἄρα τῶν ὑπὸ ποσσὶ μέγα στοναχίζετο γαῖα
ἀσπαίροντων κινουμένοις σμαραγεῖ δὲ τελαμὼν
ἔντεσι. ᾤχετο τους δὲ λιπὼν ἄλλους δ᾽ ἐναρίξειν
Φριδρίκος δηΐους μὲν, καρπαλίμοισι δὲ ποσσὶ.
ῥίμφα δ᾽ ἄρα σκαπέτοις ἐνὶ κοίλοισιν θέσαν αὐτοὺς.

Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de/rosdok/ppn889805318/phys_0020
DFG

Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de
/rosdok/ppn889805318/phys_0021
DFG

Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de/rosdok/ppn889805318/phys_0022
DFG

Fr. Reppien,
Buchbinder
in
ROSTOCK
bey der Marien-Kirche.

Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de
/rosdok/ppn889805318/phys_0023
DFG

Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de
/rosdok/ppn889805318/phys_0024
DFG

ν ἀγχινόοι τάχα Γαλλοὶ,
αῆς ἅτε κύκλα σελήνης
νδοθεν εἶχον ἀτάσθαλα κεῖνοι,
λὰς ςρέφει, ὅππόθ' ἵκοντο γὰρ
αὐτά.
δύναμιν πόδα πὰρ ποδὶ θέντες
τεροὶ ἀμφοτεροῖσι δὲ ποσσὶ
ὸς ὀξέσιν ἐςιχοώντο
μακραῖσιν τε μαχαίραις
προμάχους τε φέροντο
οι ἐν ςήθεσσιν ἐκείνων
α θοῶς, καὶ κε νῦν ἰάχησαν.
πολέμοιο ἀπίσχετε χεῖρας
εα δ' ἐγγυαλίζομεν ὑμῖν.
ὑπέκβαλον ἔγχεα πάντα,

ξηροὶ